**Διογένης Λαέρτιος, Βίοι καὶ γνῶμαι τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων, Προοίμιον 13**

| | |
|---|---|
| Σοφοὶ δὲ ἐνομίζοντο οἵδε: Θαλῆς, Σόλων, Περίανδρος, Κλεόβουλος, Χείλων, Βίας, Πιττακός.<br>τούτοις προσαριθμοῦσιν Ἀνάχαρσιν τὸν Σκύθην, Μύσωνα τὸν Χηνέα, Φερεκύδην τὸν Σύριον, Ἐπιμενίδην τὸν Κρῆτα: ἔνιοι δὲ καὶ Πεισίστρατον τὸν τύραννον. καὶ οἱ μὲν σοφοί. | Νομίζω : δοκέω<br><br>Προσαριθμέω τινι : πρός τινι ἀριθμέω |

**Διογένης Λαέρτιος, Βίοι καὶ γνῶμαι τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων, I 1; I 34**

| | |
|---|---|
| Ἦν τοίνυν ὁ Θαλῆς, ὡς μὲν Ἡρόδοτος καὶ Δοῦρις καὶ Δημόκριτός φασι, πατρὸς μὲν Ἐξαμύου, μητρὸς δὲ Κλεοβουλίνης, ἐκ τῶν Θηλιδῶν, οἵ εἰσι Φοίνικες, εὐγενέστατοι τῶν ἀπὸ Κάδμου καὶ Ἀγήνορος. <ἦν δὲ τῶν ἑπτὰ σοφῶν>, καθὰ καὶ Πλάτων φησί.<br>[…]<br>λέγεται δ᾽ ἀγόμενος ὑπὸ γραὸς ἐκ τῆς οἰκίας, ἵνα τὰ ἄστρα κατανοήσῃ, εἰς βόθρον ἐμπεσεῖν καὶ αὐτῷ ἀνοιμώξαντι φάναι τὴν γραῦν: "σὺ γάρ, ὦ Θαλῆ, τὰ ἐν ποσὶν οὐ δυνάμενος ἰδεῖν τὰ ἐπὶ τοῦ οὐρανοῦ οἴει γνώσεσθαι;" | Τοίνυν : οὖν<br><br>Εὐγενής, ές : ἄριστος τὸ γένος<br><br>ἡ γραῦς, γραός : γυνὴ γεραιά<br><br>τὸ ἄστρον, ου (πολλάκις λέγεται ἐπὶ τῷ πληθυντικῷ) : ἡ ἀστήρ<br><br>κατανοέω : θεωρέω<br><br>ὁ βόθρος, ου : <br><br>οἶμαι (οἴομαι) : νομίζω |

**Acta Martyrum ad Ostia Tiberina sub Claudio Gothico, I – II**

| | |
|---|---|
| ἐλθὼν δὲ ὁ δυσσεβέστατος Οὔλπιος Ῥώμυλος ὁ Βικάριος ἐν τῇ πόλει Ὠστίᾳ ἐκέλευσε πάντας τοὺς ἁγίους ἐν τῷ δεσμοτερίῳ ἀσφαλισθῆναι. | Δυσσεβής, ές : ὁ ἀτιμῶν τὸν θεόν<br>ὁ ἅγιος, α, ον : <br>ἀσφαλίζομαι : κατέχομαι |
| [...] | |
| καὶ προσέταξε τοὺς μακαρίους ἄνδρας εἰσαγεῖν, Μάξιμον τὸν πρεσβύτερον, καὶ Ἀρχέλαον τὸν διάκονον, καὶ λέγει πρὸς αὐτούς : | Προστάσσω : κελεύω<br>Μακάριος, α, ον : ἄνθρωπος τιμῶν τὸν θεόν |
| "ἵνα τί δι᾽ὑμῶν βλασφημοῦνται αἱ προσηγορίαι τῶν μεγίστων θεῶν; Καὶ ἀποπλανᾶτε τοὺς ἀνθρώπους, ἵνα μὴ πιστεύουσιν αὐτούς;" | ἵνα τί : τίνος ἕνεκα<br>ἡ προσηγορία, ας : τὸ ὄνομα, ατος<br>ἀποπλανάω : πείθω |
| ἀπεκρίθη ὁ μακάριος Μάξιμος ὁ πρεσβύτερος καὶ εἶπε : | ἀπεκρίθη : ἀπεκρίνατο |
| " ἡμεῖς μὲν οὐκ ἀποπλανῶμεν τοὺς ἀνθρώπους, ἀλλὰ μᾶλλον διὰ τῆς χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λυθρούμεθα πάντας ἀπὸ τῆς πλάνης τῶν εἰδώλων". | Λυθρόω : λύω<br>ἡ πλάνη, ης : ἁμάρτημα, ἁμαρτία<br>τὰ εἴδωλα, ων : θεοὶ ψευδεῖς |
| ὀργισθεὶς δὲ ὁ παράνομος Ῥώμυλος εἶπεν : | |
| "οὗτοι μὲν οὖν ἄξιοι θανάτου εἰσιν". | |
| Καὶ ἐκέλευσε τὸν μάκαριον διάκονον Ἀρχέλαον ἀπενεχθῆναι εἰς τὴν καμάραν ἔμπροσθεν τοῦ θεάτρου, κἀκεῖσε κεφαλικὴν τιμωρίαν ὑποστῆναι, καὶ ἐτραχηλοκοπήθη ἐν αὐτῷ τῷ τόπῳ. | ἀπενεχθῆναι : ἀποφέρεσθαι<br>ἡ καμάρα, ας : <br>ὑποστῆναι : παθεῖν<br>τιμωρίαν κεφαλικήν : <br>ἐτραχηλοκοπήθη : ἀποτέμνεται τὴν κεφαλήν |
| Τὸν δὲ μακάριον Μάξιμον ἐκέλευσε βληθῆναι ἐν τῷ δεσμοτερίῳ. Τότε ὁ μακάριος Εὐσέβιος ὁ πρεσβύτερος συνέλεξε νυκτὸς τὸ σῶμα τοῦ μακαρίου Ἀρχελάου, καὶ κατέθαψε ἐν τῷ πεδίῳ. | Βληθῆναι : ἀποκτείνεσθαι<br>Τὸ πεδίον, ου :  |
| Ῥώμυλος προσέταξε [...] τὰ τούτων (Μαξίμου καὶ Κυριακοῦ ἐπισκόπου) σώματα ἐν τῇ θαλάσσῃ ριφῆναι. | ῥιφῆναι : ῥίπτεσθαι |
| Περὶ ὧν ὁ μακάριος Εὐσέβιος ὁ πρεσβύτερος ταῦτα εὑρηκὼς συνέλεξε ἐπιμελῶς, καὶ πρὸ τῷ αἰγιαλῷ τῆς θαλάσσης ἐν τῷ πεδίῳ πλησίον τῆς Ὠστίας κατέθαψεν πόλεως. | Εὑρηκώς : εὑρίσκων<br>ἐπιμελῶς : σωφρόνως καὶ ἀκριβῶς<br>πλησίον : ἐγγύς |
| ἅτινα καὶ κατέθετο ἔγγιστα αὐτῆς ἐν τῇ κρύπτῃ τῇ πρὸ ἓξ εἰδῶν Αὐγούστων, ἐν τῇ ὁδῷ τῆς Ὠστίας. | ἅτινα : τινα<br>ἔγγιστα : μάλιστα ἐγγύς |